Ακαδημία Αθηνών / Academy of Athens

*λ ε ῖ καὶ μεγάλας κινήσιας ἐμποιεῖν τῇ ψυχῇ* 228.7 *οἱ τῶν φειδωλῶν παῖδες ... ἢν ἀμάρτωσι τοῦ πατρικοῦ τύπου τοῦ ἐπιμελέος καὶ φειδωλοῦ, φ ι λ έ ο υ σ ι διαφθείρεσθαι* **2.** Ἀγαπῶ, love, Δημόκριτος 103 *οὐδ' ὑφ' ἑνὸς φ ι λ έ ε σ θ α ι δοκέει μοι ὁ φ ι λ έ ω ν μηδένα.*

**φιληδονία.** Φιληδονία, voluptuousness/passion for pleasure, Δημόκριτος 159.6 *ἡδέως ἂν καταψηφίσασθαι τῆς ψυχῆς, ἐφ' οἷς τὰ μὲν ἀπώλεσε τοῦ σώματος ταῖς ἀμελείαις καὶ ἐξέλυσε ταῖς μέθαις, τὰ δὲ κατέφθειρε καὶ διέσπασε ταῖς φ ι λ η δ ο ν ί α ι ς.*

**φιλίη 1.** Φιλία, friendship, Δημόκριτος 98 *ἑνὸς φ ι λ ί η ξυνετοῦ κρέσσων ἀξυνέτων πάντων* 109 *οἱ φιλομεμφέες εἰς φ ι λ ί η ν οὐκ εὐφυέες* 186 *ὁμοφροσύνη φ ι λ ί η ν ποιεῖ* **2** (συνών. *Φιλότης*, ἀντίθ. *Νεῖκος*). Ἡ ἀγάπη ὡς κοσμικὴ ἀρχή, love as a cosmic principle, Ἐμπεδοκλῆς 18 *Φ ι λ ί η.*

**φιλομεμφής.** Φιλόψογος/φιλοκατήγορος, censorious, Δημόκριτος 109 *οἱ φ ι λ ο μ ε μ φ έ ε ς εἰς φιλίην οὐκ εὐφυέες.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**φιλονικέειν.** Εἶμαι φιλόδοξος, be ambitious, Δημόκριτος 252.2 *τὰ κατὰ τὴν πόλιν χρεὼν τῶν λοιπῶν μέγιστα ἡγεῖσθαι, ὅκως ἄξεται εὖ, μήτε φ ι λ ο ν ι κ έ ο ν τ α παρὰ τὸ ἐπιεικὲς μήτε ἰσχὺν ἑαυτῷ περιτιθέμενον παρὰ τὸ χρηστὸν τὸ τοῦ ξυνοῦ.*

**φιλονικίη.** Ἄμετρη φιλοδοξία, immoderate ambition, Δημόκριτος 237 *φ ι λ ο ν ι κ ί η πᾶσα ἀνόητος.*

**φίλος 1.** Φίλος/ἀγαπητός, friendly/beloved, Ξενοφάνης 7.4 *ἐπεὶ ἦ φ ί λ ο υ ἀνέρος ἐστὶν ψυχὴ* Ἀλκμαίων 5 *ἐχθρὸν ἄνδρα ῥᾷον φυλάξασθαι ἢ φ ί λ ο ν* **2.** Φίλιος/οἰκεῖος, friendly/familiar, Ἐμπεδοκλῆς 110.9 *σφῶν αὐτῶν ποθέοντα φ ί λ η ν ἐπὶ γένναν ἱκέσθαι* 115.3 *εὖτέ τις ἀμπλακίῃσι φόνῳ φ ί λ α γυῖα μιήνῃ.* || Ἐμπεδοκλῆς 137.1-6 *μορφὴν δ' ἀλλάξαντα πατὴρ φ ί λ ο ν υἱὸν ἀείρας ... θυμὸν ἀπορραίσαντε φ ί λ α ς κατὰ σάρκας ἔδουσιν* **3.** Φίλος, friend, Ἐμπεδοκλῆς 112.1 καὶ 114.1 *ὦ*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ